ἐπὶ δὲ οὐ πληρδῦται ὡς ἐπὶ τὸ πολὺ, διὰ ταύτην τὴν ἐπιθυμίαν. ιγ Διὰ τί οἱ λευκοὶ ἄνθρωποι καὶ ἵπποι ὡς ἐπὶ τὸ πολὺ γλαυκοί; ἢ διότι [τριῶν] χρωμάτων ὄντων τοῖς ὄμμασι, μέλανος καὶ αἰγωποῦ καὶ γλαυκοῦ, τῷ τοῦ σώματος χρώματι, καὶ τὸ τοῦ ὀφθαλμοῦ χρῶμα ἀκολουθεῖ; τοῦτο δέ ἐστι γλαυκότης. ιδ Διὰ τίνα αἰτίαν οἱ νάνοι γίνονται; ἔτι δὲ μᾶλλον καθόλου· διὰ τί τὰ μὲν, ὅλως μεγάλα, τὰ δὲ, μικρά; εἶτα οὕτω σκεπτέον· δύο δὴ τὰ αἴτια. ἢ γὰρ ὁ τόπος, ἢ ἡ τροφή. ὁ μὲν [οὖν] τόπος, ἐὰν ᾖ στενός· ἡ δὲ τροφὴ, ἐὰν ᾖ ὀλίγη· ὥσπερ καὶ ἤδη γεγεννημένων, πειρῶνται μικροὺς ποιεῖν· οἷον οἱ τὰ κυνίδια τρέφοντες ἐν τοῖς ὀρτυγοτροφίοις. ὅσοις μὲν οὖν ὁ τόπος αἴτιος, οὗτοι πυγμαῖοι γίνονται. τὰ μὲν γὰρ πλάτη καὶ τὰ μήκη ἔχοντες γίνονται κατὰ τὸ τῶν τεκόντων μέγεθος· μικροὶ δὲ ὅλως. τούτου δὲ αἴτιον, ὅτι διὰ τὴν στενότητα τοῦ τόπου συγκλώμεναι αἱ εὐθεῖαι, καμπύλαι γίνονται. ὥσπερ οὖν οἱ ἐπὶ τῶν καπηλείων γραφόμενοι, μικροὶ μέν εἰσι, φαίνονται δὲ ἔχοντες πλάτη καὶ βάθη, ὁμοίως συμβαίνει καὶ τοῖς πυγμαίοις. ὅσοι δὲ διὰ τροφῆς ἔνδειαν ἀτελεῖς γίνονται, οὗτοι καὶ παιδαριώδη τὰ μέλη ἔχοντες φαίνονται. καὶ ἐνίοις ἰδεῖν ἐστι, μικροὺς μὲν σφόδρα, συμμέτρους δὲ, ὥσπερ τὰ Μελιταῖα κυνίδια, αἴτιον δὲ, ὅτι οὐχ ὡς ὁ τόπος ἡ φύσις ποιεῖ.

ιε Διὰ τί τῶν ζώων τὰ μὲν, ἐξ ἀλλήλων γίνεται. τὰ δὲ, ἔκ τινων συγκρινομένων ὁμοίως τῆς ἐξ ἀρχῆς γενέσεως αὐτοῖς ὑπαρξάσης; [ἢ] καθάπερ οἱ περὶ φύσεως λέγοντες, λέγουσι, καὶ τὴν ἐξ ἀρχῆς γένεσιν τῶν ζώων γενέσθαι, διὰ τὰς μεταβολὰς καὶ μετακινήσεις τοῦ κόσμου καὶ τοῦ παντὸς οὕτω μεγάλας· καὶ νῦν εἴπερ μέλλει πάλιν ἔσεσθαι, τοιαύτας τινὰς ὑπάρξαι δεῖ κινήσεις; ἡ μὲν γὰρ ἀρχὴ, παντὸς ἔργου μέγιστον· ἥμισυ γάρ· τὸ δὲ σπέρμα, ἀρχή. τῶν μὲν οὖν μικρῶν, καὶ ὅσα γίνεται μὴ ἐξ ἀλλήλων, αἴτιον τοιαῦτα γενέσθαι ὥσπερ ἐξ ἀρχῆς ἐγεννήθησαν, ἡ τοῦ σπέρματος μικρότης. τοῦ γὰρ ἐλάττονος, καὶ ἡ ἀρχὴ ἐλάττων. ὥστε ἱκαναὶ καὶ αἱ τούτου μεταβολαὶ πρὸς τὸ γεννῆσαι αὐτῶν τὸ σπέρμα· ὅπερ συμβαίνει. γίνονται γὰρ ἐν ταῖς μεταβολαῖς μάλιστα· τοῖς δὲ [μείζοσι,] μείζονος δεῖται [καὶ] μεταβολῆς.

A Adde quod ob eam auiditatem, minimè repleri magna ex parte patiuntur. 13 Cur alibi tam homines, quàm equi, oculis magna ex parte cæſii ſunt? An cùm oculi triplici coloris genere diſtinguantur, nigro, caprino, & cæſio, corporis totius colorem oculi quoq. color cõſequitur: itaque haud immerito cæſius eſt. 14 Cur homines nana ſtatura proueniunt? Vel potius quærendum in vniuerſum, cur in animan-B tium genere alia paruo, alia magno conſiſtant corpore? Cauſa duplex ſanè reddi poteſt: aut enim locus, aut alimentum id facit. Locus, ſi anguſtus eſt, alimentum, ſi exiguum. Quod etiam partu iã edito nonnulli efficere conantur, vt qui catellos in caueolis occluſos educant. Quibus itaque cauſæ locus eſt, hi pomiliones redduntur. Sunt enim latitudine quidem, profunditatéque pro magnitudine ſuorum paren-C tum, breues tamen omnino. Cuius rei cauſa eſt, quod rectæ lineæ in aduncas ſe flectunt. Igitur quo modo tabernatum picturæ, quamuis breues, tamen diſtentæ in latitudinem, profunditatémque cernuntur: ita pomiliones quoque formari ex loci anguſtia incidit. At verò qui ob alimenti inopiam perfici non potuerint, hos membris quoque puerilibus cõſtare videmus. Fitque vt aliqui, quamuis breues admo-D dum ſint, modicè tamen coagmentatas omnes ſui corporis partes habeant, vt Melitenſes catelli. Ratio enim quod non vt locus, ſic natura ſuũ efficere opus ſoleat.

15 Cur in animantium genere alia maris, ac fœminæ coitu creantur, alia concreantur, alia concretis quibuſdam proueniunt, ſimul atque primus eorum ortus extiterit? Quemadmodum qui de natura docent primum animantium ortum, mu-E tatione, dimotionéque mundi, vniuerſique orbis ingente differunt extitiſſe. Et quòd nunc ſi rurſum ortus eiuſmodi futurus ſit, tales motiones aliquas præceſſiſſe oportebit. Principium enim rei cuiuſq. maximũ eſt, quippe quod rei dimidiũ ſit. Semen autẽ genitale principiũ eſſe, certũ eſt. Ergo minutotum animaliũ quorunq. ortus, nullo agi mutuo concubitu ſolet: cauſa cur vt principio extiterunt, creari F nũc etiã poſſint, ſeminis exiguitas eſt. Rei nanq. minoris, minus quoq. principium eſſe conuenit. Quamobrem huius etiam ſeculi mutationes, ſemen animantium minutorum generi ſatis contrahere poſſunt, quod ſæpius vſu euenit. Tũ enim maximè oriũtur, cùm mutationes tẽporum inceſſerunt. Maiorũ autẽ genus, mutationẽ quoq. pro ſui magnitudine deſiderat ampliorẽ.